# Régilla épouse d'Hérode Atticus : principales inscriptions en son honneur et épitaphes

**1.** à Athènes — milieu du IIe s. apr. J.C.
IG II² 4072

Ἀππίαν · Ἀννίαν · Ῥή-
γιλλαν · Ἀτιλίαν · Καυ-
κιδίαν · Τερτύλλαν,
Ἀππίου ὑπάτου · ποντ-
τίφικος θυγατέρα, Ἡ-
ρώιδου Μαραθωνίου
ὑπάτου γυναῖκα τοῦ
ἐξηγητοῦ · ὁ ἀνὴρ
ἀνέθηκεν.

-------------------------------------------

**2.** à Athènes — après 160 apr. J.C.
IG II² 13200

Ἀππία Ἀννία Ῥήγιλλα Ἡρώδου γυνή, τὸ
φῶς τῆς οἰκίας.
πρὸς θεῶν καὶ ἡρώων ὅστις εἶ ὁ ἔχων τὸν χῶρον,
μήποτε μετακεινήσῃς τούτων τι· καὶ τὰς τού-
των τῶν ἀγαλμάτων εἰκόνας καὶ τιμὰς ὅστις
ἢ καθέλοι ἢ μετακεινοίη, τούτῳ μήτε γῆν καρ-
πὸν φέρειν μήτε θάλασσαν πλωτὴν εἶναι, κα-
κῶς τε ἀπολέσθαι αὐτοὺς καὶ γένος. vv ὅστις
δὲ κατὰ χώραν φυλάττοι καὶ τιμῶν τὰ εἰωθό-
τα καὶ αὔξων διαμένοι, πολλὰ καὶ ἀγαθὰ εἶναι
τούτῳ καὶ αὐτῷ καὶ ἐκγόνοις· λυμήνασθαι
δὲ μηδὲ λωβήσασθαι μηδὲν ἢ ἀποκροῦσαι
ἢ συνθραῦσαι ἢ συνχέαι τῆς μορφῆς καὶ τοῦ
σχήματος· vvv εἰ δέ τις οὕτω ποιήσει, ἡ αὐτὴ καὶ
ἐπὶ τούτοις ἀρά.

-------------------------------------------

**3.** à Corinthe — 143-160 apr. J.C. [copie du IIIe/IVe s.]
IG IV 1599

[ν]εύματι Σισυφίης βουλῆς παρὰ χεύματι πηγῶν
Ῥηγίλλαν μ' ἐσορᾷς, εἰκόνα σωφροσύνης
ψ(ηφίσματι) β(ουλῆς).

-------------------------------------------

**4.** à Corinthe — 143-160 apr. J.C. [copie du IIIe/IVe s.]
SEG 13.226

[῾Ρηγίλλας τ]όδ’ ἄγαλμα. φυὴν δ’ ἐχάραξε τεχνείτης
[πᾶσαν σ]ωφροσύνην ἐς λίθον ἀραμένην.
[Ἀττικ]ὸς Ἡρώδης μέγας ὤπασεν, ἔξοχος ἄλλων,
[παντ]ọίης ἀρετῆς εἰς ἄκρον εἱκόμενος,
[ὃν π]ọ́σιν Ἑλλήṿων ἔλαχεν περίβωτον ἁπάντων
[κρέσ]σ̣οṿα δ’ αὖτε π<ά>ϊν ἄνθος Ἀχαιϊάδος.
[῾Ρηγίλ]λ̣ạ, ἡ βουλή σε Τύχην ὡς εἰλάσκουσα,
[εἰκόνα π]ρ<ὸς> τεμένι στήσατο λαϊνέην.

----------------------------------------------

**5.** à Delphes
FD III 3:67

[ψηφισαμένης τ]ῆς πόλεως τῆς Δελ[φῶν Κλαύδιος]
Ἀ[ττικὸς Ἡρώδης ὕ]πατος Ἀππίαν Ἀννίαν [῾Ρήγιλλαν Ἀτ]-
ε[ιλίαν Καυκιδίαν Τερ]τύλλαν Ἀππίου Γάλλ[ου ὑπάτου]
θυ[γατέρα ὁ ἀνὴρ τὴ]ν γυναῖκα.

----------------------------------------------

**6.** à Delphes
FD III 3:71

Ἀππίαν ῾Ρήγιλλαν Κλαυ-
δίου Ἡρώδου τοῦ εὐ-
εργέτου γυναῖκα, καὶ
γένους ἕνεκα καὶ σω-
φροσύνης καὶ τοῦ ἄλλου
ἀξιώματος πάσας τὰς
παλαιὰς ὑπερβαλομένη[ν],
ἀρετῆς ἕνεκα καὶ σωφροσύ-
νης καὶ φιλανδρίας ἡ βουλὴ
καὶ ὁ δῆμος Δελφῶν Ἀπόλ-
λωνι Πυθίω.

----------------------------------------------

**7.** à Rome — vers 160-177 apr. J.C. —
IGUR II 340 ; IG XIV 1391

Ἀννία ῾Ρηγίλλα
Ἡρῴδου γυνή, τὸ φῶς
τῆς οἰκίας, τίνος ταῦ-
τα τὰ χωρία γέγοναν·
{$^2$vacat}$^2$
Annia Regilla
Herodis uxor
lumen domus
cuius haec
praedia
fuerunt.